καὶ μὴν ὅτι γε δεῖ τὸν συμποσίαρχον οἰκείως ἔχειν καὶ φιλικῶς πρὸς ἅπαντας ὕπουλον δὲ μηδενὶ μηδ᾽ ἀπεχθῆ τῶν ἑστιωμένων εἶναι παντί που δῆλον· οὔτε γὰρ ἐπιτάττων ἀνεκτὸς οὔτ᾽ ἀπονέμων ἴσος οὔτε προσπαίζων ὅμως B ἀνέγκλητος ἔσται. τοιοῦτον᾽ ἔφη ‘σοι, Θέων, ἐγὼ τὸν ἄρχοντα συμποσίου πλάσας ὥσπερ ἐκ κηροῦ τοῦ λόγου παραδίδωμι.᾽

**3.** *Καὶ* ὁ Θέων ‘ἀλλὰ δέχομαι μέν᾽ εἶπεν ‘οὕτως ὁμαλὸν ἀπειργασμένον τὸν ἄνδρα καὶ συμποτικόν· εἰ δὲ χρήσομαι κατὰ ⟨τρό⟩πον αὐτῷ καὶ μὴ καταισχυνῶ τὸ ἔργον, οὐκ οἶδα· ...τον δέ μοι δοκεῖ τοι⟨οῦτο⟩ς ὢν τὸ συμπόσιον ⟨διαφυλ⟩άξειν ἡμῖν καὶ μὴ ⟨περι⟩όψεσθαι νῦν μὲν ἐκκλησίαν δημοκρατικὴν νῦν δὲ σχολὴν σοφιστοῦ γινομένην αὖθις δὲ κυβευτήριον εἶτά που σκηνὴν καὶ θυμέλην. ἢ γὰρ οὐχ ὁρᾶτε τοὺς μὲν δημαγωγοῦντας καὶ δικαζομένους παρὰ δεῖπνον, τοὺς δὲ μελετῶντας καὶ C ἀναγινώσκοντας αὑτῶν τινα συγγράμματα, τοὺς δὲ μίμοις καὶ ὀρχησταῖς ἀγωνοθετοῦντας; Ἀλκιβιάδης δὲ καὶ Θεόδωρος τελεστήριον ἐποίησαν τὸ Πολυτίωνος συμπόσιον ἀπομιμούμενοι δᾳδουχίας καὶ ἱεροφαντίας. ὧν οὐδὲν οἶμαι τῷ ἄρχοντι περιοπτέον· ἀλλὰ καὶ λόγοις καὶ θεάμασι καὶ παιδιαῖς δώσει τόπον ἐκείνοις μόνοις, ὅσα πρὸς τὸ συμποτικὸν τέλος ἐξικνεῖται· τοῦτο δ᾽ ἦν φιλίας ἐπίτασιν ἢ γένεσιν δι᾽ ἡδονῆς ἐνεργάσασθαι τοῖς παροῦσιν· διαγωγὴ γάρ ἐστιν ἐν οἴνῳ τὸ συμπόσιον εἰς φιλίαν ὑπὸ χάριτος τελευτῶσα. ἐπεὶ δὲ πανταχοῦ πλήσμιον καὶ πολλαχοῦ